παρὰ τοῦ θεοῦ, ἣν ποιήσει ἡμῖν σήμερον· ὃν τρόπον γὰρ ἑωράκατε
τοὺς Αἰγυπτίους σήμερον, οὐ προσθήσεσθε ἔτι ἰδεῖν αὐτοὺς εἰς
14 τὸν αἰῶνα χρόνον· [14]κύριος πολεμήσει περὶ ὑμῶν, καὶ ὑμεῖς σι-
γήσετε.
15 [15]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Τί βοᾷς πρός με; λάλησον
16 τοῖς υἱοῖς Ισραηλ, καὶ ἀναζευξάτωσαν· [16]καὶ σὺ ἔπαρον τῇ ῥάβδῳ
σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν καὶ ῥῆξον αὐ-
τήν, καὶ εἰσελθάτωσαν οἱ υἱοὶ Ισραηλ εἰς μέσον τῆς θαλάσσης
17 κατὰ τὸ ξηρόν. [17]καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραω καὶ
τῶν Αἰγυπτίων πάντων, καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν· καὶ ἐν-
δοξασθήσομαι ἐν Φαραω καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ καὶ ἐν
18 τοῖς ἅρμασιν καὶ ἐν τοῖς ἵπποις αὐτοῦ. [18]καὶ γνώσονται πάντες
οἱ Αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος ἐνδοξαζομένου μου ἐν Φαραω
19 καὶ ἐν τοῖς ἅρμασιν καὶ ἵπποις αὐτοῦ. [19]ἐξῆρεν δὲ ὁ ἄγγελος τοῦ
θεοῦ ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν υἱῶν Ισραηλ καὶ
ἐπορεύθη ἐκ τῶν ὄπισθεν· ἐξῆρεν δὲ καὶ ὁ στῦλος τῆς νεφέλης
20 ἀπὸ προσώπου αὐτῶν καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν. [20]καὶ εἰσῆλ-
θεν ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν Αἰγυπτίων καὶ ἀνὰ μέσον
τῆς παρεμβολῆς Ισραηλ καὶ ἔστη· καὶ ἐγένετο σκότος καὶ γνόφος,
καὶ διῆλθεν ἡ νύξ, καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα·
21 [21]ἐξέτεινεν δὲ Μωυσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ὑπήγα-
γεν κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα
22 καὶ ἐποίησεν τὴν θάλασσαν ξηράν, καὶ ἐσχίσθη τὸ ὕδωρ. [22]καὶ
εἰσῆλθον οἱ υἱοὶ Ισραηλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν,
καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων·
23 [23]κατεδίωξαν δὲ οἱ Αἰγύπτιοι καὶ εἰσῆλθον ὀπίσω αὐτῶν, πᾶσα ἡ
ἵππος Φαραω καὶ τὰ ἅρματα καὶ οἱ ἀναβάται, εἰς μέσον τῆς θα-
24 λάσσης. [24]ἐγενήθη δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ καὶ ἐπέβλεψεν κύ-
ριος ἐπὶ τὴν παρεμβολὴν τῶν Αἰγυπτίων ἐν στύλῳ πυρὸς καὶ νε-
25 φέλης καὶ συνετάραξεν τὴν παρεμβολὴν τῶν Αἰγυπτίων [25]καὶ συνέ-
δησεν τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν καὶ ἤγαγεν αὐτοὺς μετὰ
βίας. καὶ εἶπαν οἱ Αἰγύπτιοι Φύγωμεν ἀπὸ προσώπου Ισραηλ· ὁ
26 γὰρ κύριος πολεμεῖ περὶ αὐτῶν τοὺς Αἰγυπτίους. [26]εἶπεν δὲ κύριος
πρὸς Μωυσῆν Ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ
ἀποκαταστήτω τὸ ὕδωρ καὶ ἐπικαλυψάτω τοὺς Αἰγυπτίους, ἐπί τε
27 τὰ ἅρματα καὶ τοὺς ἀναβάτας. [27]ἐξέτεινεν δὲ Μωυσῆς τὴν χεῖρα
ἐπὶ τὴν θάλασσαν, καὶ ἀπεκατέστη τὸ ὕδωρ πρὸς ἡμέραν ἐπὶ
χώρας· οἱ δὲ Αἰγύπτιοι ἔφυγον ὑπὸ τὸ ὕδωρ, καὶ ἐξετίναξεν

16 τη ραβδω B† (cf. 7 20)] την -δον A || 20 της παρεμβ. $1^{0}$ > B† | και εστη > A* || 21 διεσχισθη A || 23 κατεδιωξαν δε] και κατ. B | εισηλθεν A† | πασα η] και πας B | εις] pr. και εισηλθον A† || 24 επι] εις A || 25 ηγεν A || 26 τους ult.] pr. επι A